## ZEUXIS

I [II p. 318B., I i 111D.]

Ἡράκλεια πατρίς, Ζεῦξις δ' ὄνομ'· εἰ δέ τις ἀνδρῶν
ἡμετέρης τέχνης πείρατά φησιν ἔχειν,
δείξας νικάτω. 〈 〉
〈 〉 δοκῶ δ' ἡμᾶς οὐχὶ τὰ δεύτερ' ἔχειν.

## THUCYDIDES vel TIMOTHEUS

I [II p. 267B., I i 133D.]

μνῆμα μὲν Ἑλλὰς ἅπασ' Εὐριπίδου, ὀστέα δ' ἴσχει
γῆ Μακεδών· ἡ γὰρ δέξατο τέρμα βίου·
πατρὶς δ' Ἑλλάδος Ἑλλάς, Ἀθῆναι· πλεῖστα δὲ Μούσαις
τέρψας ἐκ πολλῶν καὶ τὸν ἔπαινον ἔχει.

## ALCIBIADES

I [II p. 268B., I i 133D.]

βάπτε σύ μ' ἐν θυμέλῃσιν· ἐγὼ δέ σε κύμασι πόντου
βαπτίζων ὀλέσω νάμασι πικροτάτοις.